den muss, woraus jene entstehen, so ist ein Würfel eine
körperliche Figur, die auf allen Seiten viereckig und gleich-
seitig ist von 6 Flächen umschlossen wie ein Obolos, wes-

---

[1] Heron Def. 76.
[2] Cfr. Euklid I def. 16.
[3] Heron Def. 78.
[4] Heron Def. 79.
[5] Heron Def. 81.

ὅθεν καὶ ὀβολὸς καλεῖται· ἔχει γὰρ πλάτος καὶ πάχος καὶ ὕψος. εἰ δὲ τὸ ὕψος ἔχει περισσὸν τοῦ πλάτους, τὰ τοιαῦτα σχήματα δοκίδες καλοῦνται.

25 *Περὶ κυλίνδρου.*

1 Ἀπέδειξεν καὶ ἐνταῦθα Ἀρχιμήδης, ὅτι, ὅνπερ ἔχει λόγον ὁ κύκλος πρὸς τὸ τετράγωνον τὸ περὶ αὐτὸν περιγραφόμενον, τὸν αὐτὸν λόγον ἔχει καὶ ὁ κύλινδρος πρὸς τὸν κύβον τὸν περιέχοντα αὐτὸν καὶ ἴσας πλευρὰς ἔχοντα τῇ διαμέτρῳ τοῦ κυλίνδρου καὶ ὕψος ἴσον, καὶ ὡς ἐπὶ τῶν κύκλων εἰπεῖν, ὅτι τὰ $\overline{\iota\alpha}$ τετράγωνα τὰ ἐκτὸς περιγραφόμενα τοῦ κύκλου ἴσα εἰσὶ δεκατέτρασι κύκλοις τοῖς τὴν αὐτὴν διάμετρον ἔχουσιν, οὕτως καὶ οἱ $\overline{\iota\alpha}$ κύβοι ἴσοι εἰσὶ δεκατέτρασι κυκλίνδροις, ὧν αἱ πλευραὶ ἴσαι εἰσὶ τῇ διαμέτρῳ καὶ τῷ ὕψει, καὶ ὥσπερ ἐπὶ τῶν κύκλων λαμβάνομεν τὸ ἐμβαδὸν τοῦ τετραγώνου καὶ ποιοῦμεν ἐνδεκάκις καὶ μερίζομεν παρὰ τὰ $\overline{\iota\delta}$· καὶ ἔσται τὸ στερεὸν τοῦ κυλίνδρου.

2 Ἔστω κύλινδρος, οὗ ἡ διάμετρος ποδῶν $\overline{\zeta}$ καὶ τὸ ὕψος ποδῶν $\overline{\zeta}$· εὑρεῖν αὐτοῦ τὸ στερεόν. τὰ $\overline{\zeta}$ κύβισον· γίνονται $\overline{\tau\mu\gamma}$. ταῦτα πολυπλασίασον ἐπὶ $\overline{\iota\alpha}$· γίνονται ,γψογ. ταῦτα μέριζε παρὰ τὰ $\overline{\iota\delta}$· γίνονται $\overline{\sigma\xi\vartheta}$ ∟′. τινὲς δὲ πρῶτον τὸ ἐμβαδὸν λαμβάνουσιν, ὡς ἐπὶ τοῦ κύκλου, καὶ τότε ποιοῦσιν ἐπὶ τὸ ὕψος.

3 Περὶ δὲ τῆς σφαίρας καὶ τοῦ κυλίνδρου ὁ αὐτὸς Ἀρχιμήδης ἀπέδειξεν, ὅτι ἡ σφαῖρα δίμοιρον μέρος ἐστὶ τοῦ περιλαμβάνοντος αὐτὴν κυλίνδρου· καὶ πᾶς κῶνος τρίτον μέρος ἐστὶ κυλίνδρου τοῦ τὴν αὐτὴν βάσιν ἔχοντος αὐτῷ καὶ ὕψος ἴσον.

---

5 *ἀπέδειξεν*] S, *ἀπέδειξε* P. 9 *καὶ*] S, *καὶ τὸ* P. 10 $\overline{\iota\alpha}$] S, *ἕνδεκα* P. *εἰσὶ*] S, *ἐστὶ* P. 12 $\overline{\iota\alpha}$] S, *ἕνδεκα* P. *κυλίνδροις*] S, *κύλινδροι* P. 15 *τὰ*] S, om. P. Post $\overline{\iota\delta}$ quaedam excidisse suspicatur Tannery. 17 *ποδῶν*] S, om. P. 18 *ποδῶν*] S, om. P. 19 $\overline{\iota\alpha}$] S, *τὰ* $\overline{\iota\alpha}$ P. 23 *τοῦ*] S, om. P. 25 *αὐτὴν*] P; *αὐτὴν τοῦ* S, sed *τοῦ* postea del.

halb er auch Obolos genannt wird;[1] er hat nämlich Breite und Dicke und Höhe. Wenn er aber die Höhe viel grösser hat als die Breite, werden solche Figuren Balken genannt.[2]

Vom Cylinder. 25

Auch hier hat Archimedes bewiesen, dass, wie der Kreis 1
sich zu dem umgeschriebenen Quadrat verhält, so verhält sich auch der Cylinder zum Würfel, der ihn umschliesst und die Seiten dem Durchmesser des Cylinders gleich hat und gleiche Höhe, und dass, wie beim Kreis 11 um den Kreis umgeschriebene Quadrate = 14 Kreisen mit demselben Durchmesser,[3] so sind auch 11 Würfel = 14 Cylindern, deren Seitenlinien dem Durchmesser und der Höhe gleich sind, und wie bei den Kreisen nehmen wir den Flächeninhalt des Quadrats, multipliciren mit 11 und dividiren mit 14;[4] das giebt den Rauminhalt des Cylinders.

Es sei ein Cylinder, dessen Durchmesser = 7 Fuss, die 2
Höhe = 7 Fuss; zu finden dessen Rauminhalt. $7^3 = 343$, $343 \times 11 = 3773$, $3773 : 14 = 269^1/_2$. Einige aber nehmen zuerst den Flächeninhalt, wie bei dem Kreis, und multipliciren dann mit der Höhe.

Von der Kugel aber und dem Cylinder hat derselbe 3
Archimedes[5] bewiesen, dass die Kugel $^2/_3$ ist des sie umschliessenden Cylinders; und jeder Kegel ist $^1/_3$ des Cylinders, der dieselbe Grundfläche und die gleiche Höhe hat.[6]

---

[1] Obolos kommt in dieser Bedeutung sonst nicht vor. Vgl. ὀβελίσκος Stereom. I 18. Definirt wird nicht der Würfel sondern ein senkrecht stehendes Parallelepipedon.

[2] Vgl. Heron Deff. 98 u. 112.

[3] Archimedes De dim. circ. 2.

[4] Sollte heissen: wie bei den Kreisen der Flächeninhalt des Quadrats, so wird beim Cylinder der Rauminhalt des Würfels mit 11 multiplicirt u. mit 14 dividirt. Das ganze Stück ist unbeholfen im Ausdruck

[5] De sph. et cyl. I, 34 coroll.

[6] Euklid XII, 10.

4 Ἐὰν οὖν ἀπὸ τοῦ κυλίνδρου θέλῃς εὑρεῖν τὸ στερεὸν τῆς σφαίρας, ὅσου ἂν εὑρεθῇ ὁ κύλινδρος, λαμβάνεις αὐτοῦ τὸ δίμοιρον· καὶ ἔσται τὸ στερεόν. καὶ ὡς ἐπὶ τῶν ζ̅, ὅτι ἐστὶ ποδῶν σ̅ξ̅ϑ̅ L′· τὸ τρίτον· γίνονται πόδες π̅ϑ̅ L′ γ′.

5 Κάλλιον δὲ ἀπὸ τοῦ κύβου, ὡς ἐπὶ τοῦ κυλίνδρου, τὰ πολυπλασιασθέντα μερίζειν παρὰ τὸ ι̅δ̅ [ὧν γ′]. ἔστι δὲ ἡ σφαῖρα δίμοιρον μέρος κυλίνδρου. τὰ οὖν ι̅δ̅ τίνος ἐστὶ δίμοιρον; τῶν κ̅α̅. μέρισον τὰ γινόμενα παρὰ τὰ κ̅α̅ οὕτως· [ἐδόθη σφαῖρα δίμοιρον τῶν κ̅α̅] . . . ταῦτα κύβισον· γίνονται τ̅μ̅γ̅. ταῦτα πολυπλασίασον ἐνδεκάκις· γίνονται ,γ̅ψ̅ο̅γ̅. ταῦτα μέριζε παρὰ τὸν κ̅α̅· γίνονται ρ̅ο̅ϑ̅ B. οὕτω μέτρει πᾶσαν σφαῖραν.

6 Καὶ ἐπὶ τοῦ κώνου, ἐπειδὴ τρίτον μέρος ἐστὶ τοῦ κυλίνδρου, μέριζε παρὰ τὰ ι̅δ̅. τὰ ι̅δ̅ τίνος ἐστὶ γ′; τῶν μ̅β̅. μέτρει ἐπὶ τοῦ κώνου οὕτως· τὰ ζ̅ κύβισον· γίνονται τ̅μ̅γ̅. ταῦτα ἐπὶ τὰ ι̅α̅· γίνονται ,γ̅ψ̅ο̅γ̅. μέριζε παρὰ τὰ μ̅β̅· γίνονται π̅ϑ̅ L′ γ′. τινὲς δὲ μετρήσαντες τὸν κύλινδρον λαμβάνουσι τὸ γ′· καὶ ἔσται τὸ στερεὸν τοῦ κώνου.

7 Σφαίρας ἡ διάμετρος ποδῶν ι̅γ̅· εὑρεῖν αὐτῆς τὸ στερεόν. ποιῶ οὕτως· ι̅γ̅ κύβισον· γίνονται ,β̅ρ̅ϟ̅ζ̅. ταῦτα ια′ β̅,δ̅ρ̅ξ̅ζ̅ γίνονται. τούτων τὸ κα′ γίνεται ,α̅ρ̅ν̅ L′ δ′ κα′ πδ′. τοσούτων ποδῶν τὸ στερεόν.

8 Εὑρεῖν δὲ αὐτῆς καὶ τὴν ἐπιφάνειαν. ποίει οὕτως· ι̅γ̅ ἐφ' ἑαυτά· γίνονται ρ̅ξ̅ϑ̅. ταῦτα καθόλου τετράκις· γίνονται χ̅ο̅ς̅.

---

2 ὅσου] S, ὅσον P. 3 δίμοιρον] S, ω′′ P. 4 ποδῶν] π̸ S, om. P. τρίτον] S, γ′ P. πόδες] π̸ S, om. P. Lacunam susp. Tannery. 5 δὲ] S, om. P. 6 ὧν γ′] SP, del. Tannery. 7 μέρος] S, μέρος τοῦ P. 8 κ̅α̅· οὕτως ἐδόθη σφαῖρα Tannery deletis δίμοιρον τῶν κ̅α̅. ἐδόθη — κ̅α̅] SP; deleo; cf. lin. 6—7. 9 δίμοιρον] S, ω′′ P. lacunam indicauit Tannery. 11 τὸν] S, τὰ P. B] S, ω′′ P. 18 ποδῶν] S, om. P. 19 ια′] S, ἐνδεκάκις P. β̲] S, β̈ P. 20 γίνεται] comp. S, om. P. ,α̅ρ̅ν̅] S², ,α̅ρ̅λ̅ PS. L′ δ′] Tannery, om. SP. τοσούτων ποδῶν] S, τοσοῦτον P. 22 ι̅γ̅] S, τὰ ι̅γ̅ P. 23 καθόλου] S, καθολικῶς P.

Wenn du also aus dem Cylinder den Rauminhalt der Kugel finden willst, so nimm $^2/_3$ von dem für den Cylinder gefundenen Ergebniss; das wird der Rauminhalt sein. Z. B. bei Dimensionen zu 7 ist der Cylinder $269^1/_2$ Fuss; $^1/_3 \times 269^1/_2 = 89^1/_2\ ^1/_3$.[1] 4

Hübscher ist es aber, vom Würfel aus wie beim Cylinder[2] das Produkt[3] mit 14 zu dividiren. Die Kugel ist aber $^2/_3$ eines Cylinders. Wovon ist nun 14 $^2/_3$? Von 21. Dividire das Produkt mit 21 so: ⟨es sei der Durchmesser des Cylinders = 7⟩. $7^3 = 343$, $11 \times 343 = 3773$, $3773 : 21 = 179^2/_3$. So sollst du jede Kugel messen. 5

Und bei dem Kegel, da er $^1/_3$ des Cylinders ist, dividire mit 14.[4] Wovon ist 14 $^1/_3$? Von 42. Miss bei dem Kegel so: $7^3 = 343$, $11 \times 343 = 3773$, $3773 : 42 = 89^1/_2\ ^1/_3$. Einige messen aber den Cylinder und nehmen davon $^1/_3$; das wird dann der Rauminhalt des Kegels sein. 6

Der Durchmesser einer Kugel = 13 Fuss; zu finden deren Rauminhalt. Ich mache so: $13^3 = 2197$, $11 \times 2197 = 24167$, $^1/_{21} \times 24167 = 1150^1/_2\ ^1/_4\ ^1/_{21}\ ^1/_{84}$. So viel Fuss der Rauminhalt.[5] 7



Zu finden auch deren Oberfläche. Mache so: $13 \times 13 = 169$. Allgemein $4 \times 169 = 676$, $11 \times 676 = 7436$, $^1/_{14} \times 7436 = 531^1/_7$. So viel Fuss wird die Oberfläche sein.[6] 8

---

[1] Also wird nicht eine Kugel sondern ein Kegel gefunden.

[2] Oben **25**, 2.

[3] Nämlich des Durchmessers$^3 \times 11$, wodurch der Rauminhalt des Cylinders gefunden wird, daraus wieder der der Kugel durch Division mit $^3/_2 \times 14$.

[4] Um den Rauminhalt des Cylinders zu finden; daraus der des Kegels durch Division mit 3×14.

[5] Nach der Formel $K = {}^{11}/_{21}\, d^3$. Vgl. **26**,3.

[6] Ungeschickt nach der Formel $O = 4\,d^2 \times {}^{11}/_{14}$ statt $d^2\pi$.

ταῦτα ιαʹ· γίνονται ,ζυλϛ. τούτων τὸ ιδʹ γίνεται φλα ζʹ. τοσούτων ποδῶν ἔσται ἡ ἐπιφάνεια.

9 *Ἡμισφαίριον μετρῆσαι, οὗ ἡ διάμετρος ποδῶν ιγ· εὑρεῖν αὐτοῦ τὸ στερεόν. ποίει οὕτως· τὰ ιγ κύβισον· γίνονται ,βρϙζ. ταῦτα ιαʹ· γίνονται β ,δρξζ. τοῦ αὐτοῦ μβʹ γίνεται φοε δʹ ηʹ. τοσούτων ποδῶν ἔσται τὸ στερεόν.*

10 *Εὑρεῖν αὐτοῦ καὶ τὴν ἐπιφάνειαν. τὰ ιγ ἐφ' ἑαυτά . . .*

11 *. . . . λϛ. ταῦτα τρισσάκις· γίνονται ρη. καὶ τὴν κάθετον ἐφ' ἑαυτήν· γίνονται πα· σύνθες ὁμοῦ· γίνονται ρπθ. ταῦτα ἐπὶ τὴν κάθετον ἐπὶ τὰ θ· γίνονται ,αψα. ταῦτα ιαʹ· γίνονται α ,ηψια. τούτων τὸ καʹ γίνεται ωϙα. τοσούτων ἔσται τὸ στερεόν.*

12 *Εὑρεῖν αὐτοῦ καὶ τὴν ἐπιφάνειαν. τῆς βάσεως τὸ ∟ʹ ἐφ' ἑαυτό· γίνονται λϛ. καὶ τὴν κάθετον ἐφ' ἑαυτήν· γίνονται πα· ὁμοῦ γίνονται ριζ. ταῦτα τετράκις· γίνονται υξη. ταῦτα ιαʹ· γίνονται ,ερμη. τούτων τὸ ιδʹ γίνεται τξζ ∟ʹ. τοσούτου ἡ ἐπιφάνεια τοῦ μείζονος τμήματος τοῦ ἡμισφαιρίου.*

26 1 *Σφαίρας ἔστω ἡ διάμετρος ποδῶν δ· εὑρεῖν αὐτῆς τὸ στερεόν. ποιῶ οὕτως· πρῶτον ἐν τῇ βάσει μείζονα κύκλου ἀπὸ*

---

1 *ιαʹ*] S, *ἑνδεκάκις* P. *γίνεται*] comp. S, om. P. 2 *τοσούτων ποδῶν*] S, *τοσοῦτον* P. 3 *ποδῶν*] S, om. P. 5 *ιαʹ*] S, *ἑνδεκάκις* P. *β*] S, *β̈* P. *μβʹ*] P, *μβ* S. *γίνεται*] comp. S, *γίνονται* P. 6 *τοσούτων — ἔσται*] S, *τοσοῦτον* P. 7 Lacunam indicauit Tannery. 8 Lacunam ex Heronis Mens. 47 suppleuit Tannery. *λϛ*] P, *λ ϛ* e corr. S. *τρισσάκις*] P, *τρισάκις* S. *ρη*] S, om. P. 10 *τὴν*] S, om. P. *ιαʹ*] S, *ἑνδεκάκις* P. 11 *α*] S, *α̈* P. *καʹ*] P, corr. ex *κα* S. *γίνεται*] comp. S, *γίνονται* P. *ωϙα*] Tannery, *ωϙ* SP. *τοσούτων*] S, *τοσοῦτον* P. 13 *∟ʹ*] S, *ἥμισυ* P. 14 *ἑαυτό*] P, *ἑαυτά* S. *ἑαυτήν*] S, *ἑαυτά* P. 15 *ιαʹ*] S, *ἑνδεκάκις* P. 16 *γίνεται*] comp. supra scr. S, om. P. *τοσούτου*] *τοσου* (with *τ* above) S, *τοσοῦτον* P. 17 *μείζονος*] P, *μ* (with *ζ* above) S. **26** 1—4 hoc loco S fol. 25ᵛ—26ʳ, post **26**, 10 P. 18 *ἔστω*] S, om. P. *ποδῶν*] S, om. P. 19 *στερεόν*] S², *στερεὸν τοῦ κώνου* S, *στερεὸν τοῦ κυλίνδρου* P, *στερεὸν ἀπὸ τοῦ κυλίνδρου* Tannery. *πρῶτον*] S, om. P. *μείζονα*] SP, *μέτρει* Tannery; fort. *μεγίστου*. *κύκλου*] scripsi, *κύκλον* SP.

Eine Halbkugel zu messen, deren Durchmesser = 13 Fuss; zu finden deren Rauminhalt. Mache so: $13^3 = 2197$, $11 \times 2197 = 24167$, $^1/_{42} \times 24167 = 575\,^1/_4\,^1/_8$.[1] So viel Fuss wird der Rauminhalt sein. 9

Zu finden auch deren Oberfläche. $13 \times 13 = \ldots$ 10

. . . . 36. $3 \times 36 = 108$. Die Senkrechte × Senkrechte 11
= 81, $108 + 81 = 189$, $189 \times$ Senkrechte = 1701, $11 \times 1701 = 18711$, $^1/_{21} \times 18711 = 891$. So viel wird der Rauminhalt sein.[2]

Zu finden auch dessen Oberfläche. $^1/_2$ Basis × $^1/_2$ Basis = 12
36, die Senkrechte × Senkrechte = 81, $36 + 81 = 117$, $4 \times 117 = 468$, $11 \times 468 = 5148$, $^1/_{14} \times 5148 = 367\,^1/_2$.[3] So viel die Oberfläche des Segments, das grösser ist als die Halb-
11 kugel.[4]



Es sei der Durchmesser einer Kugel 1 26
= 4 Fuss; zu finden ihren Rauminhalt. Ich mache so: zuerst werden wir den Flächeninhalt eines grössten Kreises

---

[1] Genau $575\,^1/_4\,^1/_8\,^1/_{42}\,^1/_{168}$. Vgl. **26**, 5. Formel $^1/_2\,K = {}^{11}/_{42}\,d^3$.

[2] Es handelt sich um den Rauminhalt eines Segments, das grösser ist als eine Halbkugel; s. **26**, 10; Heron, Metr. 47. Der Durchmesser der Grundfläche ist 12, die Senkrechte 9. Formel: $S = (3 \times (^1/_2\,d)^2 + h^2) \times h \times {}^{\pi}/_6$.

[3] Genau $367\,^1/_2\,^1/_7\,^1/_{14}$.

[4] Ungeschickt nach der Formel $4\,((^1/_2\,b)^2 + h^2) \times {}^{\pi}/_4$ statt $((^1/_2\,b)^2 + h^2) \times \pi$. Vgl. Archimedes, *Περὶ σφ. καὶ κυλ.* I, 43. Die Figur steht hier in S, gehört aber zu **26**,7.

τοῦ ἐμβαδοῦ τὸ ἐμβαδὸν εὑρήσομεν οὕτως· ποιοῦμεν τὴν διάμετρον τὰ $\overline{\delta}$ ἐφ' ἑαυτά· γίνονται $\overline{\iota\varsigma}$. ταῦτα ἑνδεκάκις· γίνονται $\overline{\rho o\varsigma}$. τούτων τὸ ιδ' γίνεται $\overline{\iota\beta}$ L' ιδ'. τοσούτων ποδῶν ἔσται τὸ ἐμβαδόν. ταῦτα ποίει ἐπὶ τὴν διάμετρον ἐπὶ τὰ $\overline{\delta}$· τὰ γὰρ $\overline{\delta}$ ἐστι τὸ ὕψος τοῦ περιλαμβάνοντος κυλίνδρου τὴν σφαῖραν δύο ὄντων διαμέτρων τῆς σφαίρας τοῦ κυλίνδρου. ἐποίησα οὖν τὰ $\overline{\delta}$ ἐπὶ τὸ ἐμβαδὸν ἐπὶ τὰ $\overline{\iota\beta}$ L' ιδ'· γίνονται $\overline{\nu}$ καὶ δύο ἕβδομα. τοσούτων ὁ κύλινδρος, ὅσων καὶ ἡ ἐπιφάνεια τῆς σφαίρας.

2 δέδειχεν δὲ Ἀρχιμήδης, ὅτι κύλινδρος ὁ περιλαμβάνων τὴν σφαῖραν ἡμιόλιός ἐστι τῆς σφαίρας· εἰ οὖν ἥμισυ πρόσθεμα, τρίτον ἀφαίρεμα. ἀφαιρῶ οὖν τοῦ κυλίνδρου, ὅ ἐστιν ἐπιφάνεια τῆς σφαίρας, τῶν $\overline{\nu}$ καὶ $\overline{\beta}$ ἑβδόμων τὸ γ'· καταλείπεται $\overline{\lambda\gamma}$ γ' ζ' κα'. τοσούτων τὸ στερεὸν τῆς σφαίρας. ἐὰν δὲ τὸ **B'** λάβωμεν τῶν $\overline{\nu}$ καὶ $\overline{\beta}$ ἑβδόμων, ὁμοίως γίνονται $\overline{\lambda\gamma}$ γ' ζ' κα'· καὶ ἔσται ἄρα ἡ μὲν ἐπιφάνεια τῆς σφαίρας ποδῶν $\overline{\nu}$ καὶ $\overline{\beta}$ ἑβδόμων, τὸ δὲ στερεὸν ποδῶν $\overline{\lambda\gamma}$.

3 Καὶ ἔστω σφαίρας ἡ περίμετρος ποδῶν $\overline{\iota\eta}$· εὑρεῖν αὐτῆς τὸ στερεόν. ποιῶ οὕτως, ὡς ἐπὶ τῶν κύκλων· τὰ $\overline{\iota\eta}$ ἐπὶ τὰ $\overline{\zeta}$· γίνονται $\overline{\rho\kappa\varsigma}$. τούτων τὸ κβ' γίνεται $\overline{\varepsilon}$ καὶ ἑνδέκατα $\overline{\eta}$. ταῦτα ια'· γίνονται $\overline{\xi\gamma}$. ταῦτα κύβισον· γίνονται $\underline{\kappa\varepsilon}$ καὶ $\overline{\mu\zeta}$. ταῦτα μέριζε παρὰ τὰ $\overline{,\beta\varphi\mu\alpha}$· γίνονται $\overline{\text{Ϛ}\eta}$ δ' ια' λγ' μδ' ρκα' τξγ'.

---

1 τοῦ ἐμβαδοῦ] SP, τῆς διαμέτρου Tannery probabiliter. 3 ιδ'] P, $\overline{\iota\delta}$ S. γίνεται] comp. S, γίνονται P. τοσούτων — ἔσται] S, τοσοῦτον P. 4 $\overline{\delta}$ (pr.)] S, $\overline{\iota\delta}$ P. 6 τοῦ] SP, καὶ τοῦ Tannery. 7 $\overline{\nu}$] P, $\overline{\eta}$ S. ἕβδομα] S, ἕβδομον P. 8 τοσούτων] S (inc. f. 26r), τοσοῦτον P. ὅσων] S, ὅσον P. καὶ] S, om. P. 9 δέδειχεν] S, δέδειχε P. 10 ἥμισυ] S, L' P. 11 τρίτον] S, γ' P. 12 τῶν] S, τὸν P. καταλείπεται] SP; immo καταλείπονται. 13 τοσούτων] S, τοσοῦτον P. τὸ (pr.)] S, bis P. **B'**] S, ω'' P. 14 $\overline{\beta}$] S, δύο P. ὁμοίως γίνονται] S, γίνονται ὁμοίως P. $\overline{\lambda\gamma}$] corr ex $\overline{\lambda}$ S, $\overline{\lambda}$ | P. γ'] ins. S, om. P. 15 καὶ (pr.)] S, om. P. ποδῶν] S, om. P. $\overline{\beta}$] S, δύο P. 16 ποδῶν] S, om. P. $\lambda\overline{\gamma}$] SP, $\lambda\overline{\gamma}$ γ' ζ' κα' Tannery. 17 ποδῶν] S, om. P. αὐτῆς] S, αὐτοῦ P. 18 ὡς] P, om. S. τὰ] P, τῶν S. 19 $\overline{\rho\kappa\varsigma}$] S, $\overline{\rho\kappa}$ καὶ P. κβ'] P, corr. ex $\overline{\kappa\beta}$ S. γίνεται] comp. S, om. P. 20 ια'] S, ἑνδεκάκις P. $\underline{\kappa\varepsilon}$] Tannery ($\ddot{\kappa\varepsilon}$), $\overline{\kappa\varepsilon}$ SP. καὶ $\overline{\mu\zeta}$] Tannery, ϛ' μζ' SP. 21 $\overline{,\beta\varphi\mu\alpha}$] S, $\overline{,\alpha\varphi\mu\delta}$ P. τξγ'] S, λξγ' P.

in der Grundfläche[1] aus dem Durchmesser finden folgendermassen. 4 das Durchmessers $\times$ 4 = 16, 11 $\times$ 16 = 176, $^1/_{14} \times 176 = 12^1/_2\ ^1/_{14}$. So viel Fuss wird der Flächeninhalt sein.[2] $12^1/_2\ ^1/_{14} \times 4$ des Durchmessers; denn 4 ist die Höhe des die Kugel umschliessenden Cylinders, indem der Cylinder beide Durchmesser gleich dem der Kugel hat.[3] Also $4 \times 12^1/_2\ ^1/_{14}$ des Flächeninhalts $= 50^2/_7$. So viel der Cylinder, als auch die Oberfläche der Kugel.[4]

2 Archimedes hat aber bewiesen,[4] dass der die Kugel umschliessende Cylinder $^3/_2$ ist von der Kugel; wenn also die Zulage $^1/_2$ ist, so ist die Abminderung $^1/_3$. Vom Cylinder, d. h. der Oberfläche der Kugel, ziehe ich $^1/_3 \times 50^2/_7$ ab; Rest $33^1/_3\ ^1/_7\ ^1/_{21}$. So viel der Rauminhalt der Kugel. Auch wenn wir $^2/_3 \times 50^2/_7$ nehmen, ergiebt sich ebenfalls $33^1/_3\ ^1/_7\ ^1/_{21}$. Also wird auch die Oberfläche der Kugel $= 50^2/_7$ Fuss sein, der Rauminhalt aber = 33 Fuss.[5]

3 Und es sei der Umkreis einer Kugel = 18 Fuss; zu finden deren Rauminhalt. Ich mache so, wie bei den Kreisen: $18 \times 7 = 126$, $^1/_{22} \times 126 = 5^8/_{11}$. $11 \times 5^8/_{11} = 63$, $63^3 = 250047$, $250047 : 2541 = 98\ ^1/_4\ ^1/_{11}\ ^1/_{33}\ ^1/_{44}\ ^1/_{121}\ ^1/_{363}$.[6]



---

[1] Nämlich des umschriebenen Cylinders.

[2] $\pi = {}^{22}/_7$.

[3] Das muss der Sinn der unklaren Worte sein.

[4] S. Archimedes *Περὶ σφ. καὶ κυλ.* I, 34 coroll. Mit **26**, 1—2 vgl. Stereom. I, 8.

[5] Genau $33^1/_3\ ^1/_7\ ^1/_{21}$.

[6] Richtig aber ungeschickt gerechnet: $K = \frac{(11\,d)^3}{2541}$; denn $K = \frac{11}{21} d^3$ und $\frac{11}{21} = \frac{11^3}{21 \times 11^2} = \frac{11^3}{2541}$. Die Figur steht hier in S, gehört aber zu **26**,2.

4 *Ἔτεμον σφαῖραν εἰς μέρη δ̅, καὶ εὑρέθη τὸ ἓν τμῆμα ἐξ ἀμφοτέρων τῶν μερῶν ἀνὰ ποδῶν ζ̅· εὑρεῖν τὸ στερεόν. ποιῶ οὕτως· κυβίζω τὰ ζ̅· γίνονται τ̅μ̅γ̅. ταῦτα δίς· γίνονται χ̅π̅ϛ̅. ταῦτα ια΄· γίνονται ͵ζ̅φ̅μ̅ϛ̅. τούτων τὸ κα΄ γίνεται τ̅ν̅θ̅ γ΄. τοσούτων ποδῶν τὸ στερεὸν τοῦ τμήματος.*

---

1 δ̅] S, *τέσσαρα* P. *καὶ*] P, e corr. in scrib. S. 2 *ποδῶν*] S, om. P. 3 *κυβίζω*] P, corr. ex *κυβάζω* S. 4 *ια΄*] S, *ἑνδεκάκις* P. *γίνεται*] comp. S, *γίνονται* P. 5 *τοσούτων ποδῶν*] S, *τοσοῦτον* P.

Ich theilte eine Kugel in 4 Theile und fand ein Seg- 4
ment nach beiden Seiten je = 7 Fuss;[1] zu finden den Rauminhalt. Ich mache so: $7^3 = 343$, $2 \times 343 = 686$, $11 \times 686 = 7546$, $\frac{1}{21} \times 7546 = 359\frac{1}{3}$. So viel Fuss der Rauminhalt des Segments.[2]



---

[1] D. h. jedes der 4 Segmente hat einen Radius = 7 Fuss. Der Durchmesser der Kugel also = 14 Fuss.

[2] Richtig aber ungeschickt. $\frac{1}{4} K = (\frac{1}{2} d)^3 \times 2 \times \frac{11}{21} = \frac{1}{4} d^3 \times \frac{11}{21}$.

SCHOLIA
AD DIOPHANEM

1. Ad 4.

Αἱ ἀπὸ τῶν κέντρων ἐπὶ τὰ κέντρα ἀγόμεναι διὰ τῶν ἁφῶν ἐλεύσονται διὰ τὸ ιβʹ τοῦ γʹ τῶν Στοιχείων. γίνεται οὖν τρίγωνον ἰσόπλευρον· ἴσοι γὰρ οἱ κύκλοι· ὥστε ἡ τοῦ τριγώνου γωνία διμοίρου ἔσται ὀρθῆς. εἰσὶ δὲ καὶ οἱ τομεῖς ἴσοι διὰ τὸ καὶ τὰς γωνίας ἴσας εἶναι διὰ τὸ τελευταῖον τοῦ ϛʹ τῶν Στοιχείων· ὃν γοῦν λόγον ἔχει ἡ γωνία πρὸς δʹ ὀρθάς· ἔστι δὲ ἕκτον· τὸν αὐτὸν λόγον ἔχει καὶ ὁ τομεὺς πρὸς τὸν ὅλον κύκλον. ἀφαιρεθέντος οὖν τρισσάκις τοῦ ἕκτου τοῦ ἐμβαδοῦ τοῦ κύκλου ἀπὸ τοῦ ἐμβαδοῦ τοῦ τριγώνου τὸ λοιπὸν ἔσται τὸ τοῦ μέσου σχήματος.

2. Ad 7 p. 30, 6 *τετράκις.*

Διὰ τὸ τὴν ἐπιφάνειαν τῆς σφαίρας τετραπλασίαν εἶναι τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.

3. Ad 8 p. 30, 11 (cfr. adparat. crit.).

Ἀλλὰ καὶ ἀριθμητική.

4. Ad 8 p. 30, 14.

Διεχὴς αὕτη ἡ ἀναλογία.

5. Ad 10, 1 p. 32, 11 *πεντάκις.*

Ὅτι καὶ ε̅ τετράγωνα τρισὶ πενταγώνοις τοῖς ἀπὸ τῆς αὐτῆς πλευρᾶς ἀναγραφομένοις ἴσα ἐστίν.

6. Ad 10.

Ἔδειξεν ὁ Ἥρων ἐν λήμματι, ὡς, ἐὰν ᾖ τρίγωνον ὀρθογώνιον τὸ ΑΓΒ ἔχον τὴν πρὸς τῷ Γ γωνίαν ὀρθήν, τὴν δὲ

---

1. S^2. 2. S^2. 3. S^2. 4. S^2. 5. S. 6. S^2.

---

2 *ἐπὶ τὰ κέντρα*] supra scr. 23 *Ἥρων*] *Μετρικά* I, 17 p. 50, 1 sqq. 24 *ὀρθήν*] supra scr.



πρὸς τῷ Α δύο πέμπτων ὀρθῆς, τὸ ἀπὸ συναμφοτέρας τῆς ΒΑ ΑΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ ΑΓ. ληφθήτω τὸ κέντρον τοῦ κύκλου τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΑ ΖΒ, καὶ ἤχθω κάθετος ἡ ΖΓ. ἐπεὶ οὖν ἡ ὑπὸ ΑΖΒ γωνία πρὸς κέντρῳ οὖσα τῷ Ζ $\overline{δ}$ πέμπτων ἐστὶ καὶ διῄρηται δίχα, ἡ ὑπὸ ΑΖΓ δύο πέμπτων ἔσται, καὶ διὰ τὸ λῆμμα τὸ ἀπὸ συναμφοτέρας τῆς ΑΖΓ πενταπλάσιον ἔσται τοῦ ἀπὸ ΖΓ. ἀλλ' ἐπεὶ οὐκ ἔστιν ἀριθμὸς τετράγωνος τετραγώνου πενταπλάσιος, ληφθήτω ὁ ἔγγιστα· καὶ ἔστιν ὁ πα′ τοῦ ις′ πενταπλάσιος ὡς ἔγγιστα. συναμφότερος ἄρα ὁ ΑΖ ΖΓ πρὸς τὸν ΖΓ λόγον ἔχει, ὃν θ′ πρὸς δ′. ἀλλὰ ταῦτα μὲν παρεκβατικώτερον ἐρρέθη· χρήσιμον γὰρ μᾶλλον εἰς τὴν εὕρεσιν τοῦ ἐμβαδοῦ. συνελόντι δὲ εἰπεῖν, ἐπεὶ ἡ ὑπὸ ΑΖΒ δίχα διῄρηται, καὶ ἡ ΑΒ δίχα διαιρεθήσεται· ὥστε ἡ ΑΓ ἔσται ε′. ἡ δὲ ΖΓ ἔσται ζ′· μείζονα γὰρ γωνίαν ὑποτείνει. ἡ ΑΖ ἄρα ἔσται τῶν $\overline{οδ}$ ἡ πλευρὰ ἤτοι η′ γ⌣′ καὶ ε′ ὀκτωκαιδέκατα. ἐπεὶ δὲ ἐκ τοῦ κέντρου ἐστίν, ἡ διπλῆ ταύτης ἔσται διάμετρος, καὶ γίνεται ιζ′ καὶ β′ θ⌣′

7. Ad 11, 1 p. 32, 19—20.

Ἀποδέδειχεν Ἀρχιμήδης, ὅτι τὰ ιγ′ τετράγωνα τὰ ἀπὸ τῆς πλευρᾶς τοῦ ἑξαγώνου ἴσα εἰσὶ ε′ ἑξαγώνοις· ὥστε ἔσται τὸ πεντάγωνον $\overline{β}$ μονάδων L′′ δεκάτου. τὰ δὲ δύο L′′ δέκατον τῶν ς′ γ⌣′ δέκατον· ἀναλυθέντων γὰρ τῶν $\overline{β}$ L′′ δεκάτου εἰς κς′ δέκατα καὶ τῶν ς′ εἰς ξ′ ἔσται τὰ κς′ τρίτον δέκατον τῶν ξ′.

---

7. S^2.

---

1 *ὀρθῆς*] *-ῆς* e corr. 2 *τοῦ ἀπό*] corr. ex *τῆς* $\overline{βγ}$ in scrib. 3 *ΑΓ*] corr. ex $\overline{βγ}$. *ληφθήτω*] scilicet in figura capitis 10. 8 *ΖΓ*] corr. ex $\overline{αγ}$. 10—11 Debuit *συναμφοτέρα ἄρα ἡ* et *πρὸς τήν*. 16 *καὶ ε′*] supra scr. 22 *πεντάγωνον*] debuit *ἑξάγωνον*. *μονάδων*] *μο* supra $\overline{β}$ add. 23 $\overline{β}$] corr. ex *δύο* in scrib.

8. Ad 11, 1 p. 32, 18.

Ὅτι ἡ τοῦ ἑξαγώνου πλευρὰ τῇ ἡμισείᾳ τῆς διαμέτρου ἤτοι τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου ἴση ἐστίν.

9. Ad 11, 2.

Καὶ ταῦτα διὰ τὰ προειρημένα.

10. Ad 12.

Τὰ μγʹ τετράγωνα τὰ ἀπὸ τῆς πλευρᾶς τοῦ ἑπταγώνου ἴσα γίνεται ιβʹ ἑπταγώνοις.

11. Ad 13, 1.

Τὰ κθʹ τετράγωνα τὰ ἀπὸ πλευρᾶς τοῦ ὀκταγώνου ἴσα εὑρίσκεται ϛʹ ὀκταγώνοις.

12. Ad 13, 1.

Αἱ τῶν πολυγώνον γωνίαι γνωσθήσονται ἀπὸ τῶν πρὸς τῷ κέντρῳ τοῦ κύκλου συνισταμένων γωνιῶν τριγωνικῶν· ἐπεὶ γὰρ αἱ πρὸς τῷ κέντρῳ τέσσαρσιν ὀρθαῖς εἰσιν ἴσαι, αἱ τριγωνικαὶ δʹ γωνίαι αἱ ἀπὸ τῶν πλευρῶν τοῦ τετραγώνου συνιστάμεναι πρὸς τῷ κέντρῳ τέτρασιν ὀρθαῖς εἰσιν ἴσαι. αἱ ἄρα πρὸς ταῖς βάσεσι τῶν τριγώνων γωνίαι ἴσαι οὖσαι ἀπὸ ἡμισείας ὀρθῆς ἔσονται. ὡσαύτως ἐπὶ τοῦ πενταγώνου τῶν πρὸς τῷ κέντρῳ εʹ γωνιῶν ἔσται ἑκάστη τεσσάρων πέμπτων ὀρθῆς· αἱ πρὸς τῇ βάσει ἄρα ἴσαι οὖσαι ἔσονται ἀπὸ τριῶν πέμπτων· ὥστε ἡ τοῦ πενταγώνου γωνία ἔσται ὀρθῆς καὶ πέμπτου ὀρθῆς. ἐπὶ τοῦ ἑξαγώνου αἱ πρὸς τῷ κέντρῳ γωνίαι τριγωνικαὶ ἓξ διμοίρων ἔσονται· ὥστε ἑκάστου τριγώνου αἱ πρὸς τῇ βάσει ἴσαι οὖσαι ἀπὸ διμοίρου. ὀρθῆς ἄρα καὶ τρίτου ἔσται ἡ τοῦ ἑξαγώνου γωνία. ἐπὶ τῶν ἑπταγώνων αἱ πρὸς τῷ κέντρῳ τριγωνικαὶ γωνίαι ἔσονται ἀπὸ δʹ ἑβδόμων· αἱ ἄρα πρὸς τῇ βά-

8. S. 9. S^2. 10. S^2. 11. S^2. 12. S^2.

10 *ὀκταγώνου*] -*α*- corr. ex *ω* (?). 17 Post *κέντρῳ* del. *γ* in scrib. Post *ἄρα* del. *τ* in scrib. 19 *ἐπὶ*] e corr. 20 *ἔσται*] e corr. *ὀρθῆς*] *ὀρθῆ͡*. 22 *ἔσται*] *ἔσεται*? 23 *ἐπὶ*] e corr. 25 *διμοίρου*] *δι*- e corr. in scrib. 27 *δʹ ἑβδόμων*] in ras.

σει ἀπὸ πέντε ἑβδόμων· ὥστε ἡ τοῦ ἑπταγώνου γωνία ἔσται ὀρθῆς καὶ τριῶν ἑβδόμων. ἐπὶ τῶν ὀκταγώνων αἱ πρὸς τῷ κέντρῳ ὀκτὼ τριγωνικαὶ γωνίαι ἀπὸ ἡμισείας ὀρθῆς· αἱ ἄρα πρὸς τῇ βάσει ἀπὸ ἡμισείας καὶ δ⌣́· ἡ ἄρα τοῦ ὀκταγώνου γωνία ὀρθῆς καὶ ἡμισείας. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων: ~

13. Ad 13, 2.

Δείκνυται ἐν τοῖς Ἥρωνος· ἐὰν ὀκτάγωνον ἐγγραφῇ κύκλῳ ἰσόπλευρον καὶ ἰσογώνιον, ἡ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν πλευρὰν κάθετος ἕξει λόγον τόνδε, ἡ δὲ ἐκ τοῦ κέντρου τόνδε. οἷον ὡς ἐν παραδείγμασι, εἰ ι′ ἐστὶν ἡ πλευρὰ τοῦ ὀκταγώνου, ἡ ἀπὸ τοῦ κέντρου ἐπ' αὐτὴν κάθετος ιβ′ μονάδας καὶ δωδέκατον ὡς ἔγγιστα ἢ εἰκοστοτέταρτον, ἡ δὲ ὑποτείνουσα τὴν ὀρθὴν γωνίαν ἤτοι ἡ ἐκ τοῦ κέντρου ιγ′ ιγ⌣́ ὡς ἔγγιστα· ἔσται οὖν ἡ διάμετρος κς′ καὶ $\bar{β}$ ιγ⌣́.

14. Ad 14, 1.

Τὰ να′ τετράγωνα τὰ ἀπὸ τῆς πλευρᾶς τοῦ ἐννεαγώνου ἴσα εὑρίσκεται η′ ἐννεαγώνοις.

15. Ad 14, 2 p. 36, 5.

Δέδεικται γάρ, ὅτι ἡ διάμετρος τοῦ κύκλου, ᾧ τὸ ἐννεάγωνον ἐγγέγραπται, τριπλασίων ἐστὶν ὡς ἔγγιστα τῆς πλευρᾶς τοῦ ἐννεαγώνου·

16. Ad 15, 1 p. 36, 8.

Τὰ ἀπὸ τῆς πλευρᾶς τοῦ δεκαγώνου ιε′ τετράγωνα ἴσα δυσὶ δεκαγώνοις. διὰ τοῦτο τὸ ἀπὸ τῆς πλευρᾶς τετράγωνον πολλαπλασιάζεται ἐπὶ τὰ ιε′, καὶ λαμβάνεται τὸ L″.

17. Ad 20,3 p. 42, 12.

Διὰ τὸ τὰ μήκει διπλάσια δυνάμει τετραπλάσια·

---

13. S². 14. S². 15. S². 16. S². 17. S².

---

5 Post: ~ del. *ὅπερ δὲ παρέλιπον . . . . ἰσόπλευρον κύκλῳ.* 7 *Ἥρωνος*] Metr. I, 21 (de sola catheto). 11 Ante *ιβ′* del. *ὡς ἔγγιστα.*

18. Ad 23,1.

Διάμετρον ἐνταῦθά φησιν τὴν ἀπὸ γωνίας εἰς γωνίαν ἀγομένην.

19. Ad 25,6 p. 58, 23.

Διὰ τὸ ἀποδεῖξαι τὸν Ἀρχιμήδην τοῦ ἐν τῇ σφαίρᾳ μεγίστου κύκλου τετραπλασίονα εἶναι τὴν ἐπιφάνειαν τῆς σφαίρας διὰ τοῦτο λαμβάνει τετράκις τὴν διάμετρον·

---

18. S^2. 19. S^2.

---

5 *Ἀρχιμήδην*] *Περὶ σφ. καὶ κυλ.* I, 33.

SCHOLIA NONNULLA AD DATA EUCLIDIS INEDITA

Cod. Parisin. Gr. 2448 f. 140r—141 post Sphaerica Theodosii.

1) ad VI p. 156, 5 sqq.: *ἐπεὶ γὰρ τοῦ ΑΒΔ △′ αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ὧν ἡ πρὸς τῷ Δ ὀρθή ἐστιν, αἱ λοιπαὶ ἄρα δύο γωνίαι μιᾷ ὀρθῇ ἴσαι εἰσίν· ὥστε δέδονται. ὧν ἡ πρὸς τῷ Α δέδοται· καὶ ἡ πρὸς τῷ Β ἄρα. ὥστε καὶ τὸ ΑΒΔ △′ δέδοται. ἐὰν γὰρ τῇ ΑΒ τὴν ΒΔ ἐπ᾽ εὐθείας νοήσωμεν καὶ πρὸς ὀρθὰς τὴν ΑΓ, ἔσται, ὡς ἡ ΑΒ πρὸς τὴν ΒΔ, οὕτως τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ πρὸς τὸ ὑπὸ τῶν ΑΓ, ΒΔ. τῆς δὲ ΑΒ πρὸς τὴν ΒΔ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ὑπὸ τῶν ΒΑΓ ἄρα πρὸς τὸ ὑπὸ τῶν ΑΓ, ΒΔ λόγος ἐστὶ δοθείς.*



2) schol. 168 Menge, des. p. 307, 5—6: *△′ διὰ τὸ $\overline{μα}$ τοῦ $\overline{α}$ τῶν Στοιχείων·*

3) ad p. 158, 10—11: *ἐπεὶ κάθετός ἐστιν ἡ ΘΔ, ὀρθή ἐστιν ἡ πρὸς τῷ Δ γωνία. ἔστι δὲ καὶ ἡ ὑπὸ τῶν ΔΗΚ ὀρθή· παράλληλος ἄρα ἐστὶν ἡ ΘΔ τῇ ΗΚ. ἔστι δὲ καὶ ἡ ΔΗ τῇ ΘΚ παράλληλος· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΚΔ· ὥστε ἴση ἐστὶν ἡ ΘΔ τῇ ΚΗ. ἡ δὲ ΚΗ δέδοται· δέδοται ἄρα καὶ ἡ ΘΔ.*

4) ad p. 156, 15—16: *διὰ τὸ ἀντίστροφον τοῦ $\overline{α}$ τοῦ $\overline{ϛ}$· ὕψος ἡ ΒΓ, βάσις ἡ ΒΓ καὶ ἡ ΔΕ.*

5) ad p. 158, 8: *θέσει ἐστὶν ἡ ΘΚ. παράλληλος γὰρ ἀγομένη ἀπὸ δεδομένου σημείου τοῦ Κ τῇ ΖΗ θέσει οὔσῃ θέσει ἐστίν.*

6) p. 308, 20 sqq.: *ἔνστασις ἐν τῷ παρόντι θεωρήματι. εἰπὼν γάρ* (p. 158, 2)· *γεγονέτω, ὡς ἡ ΒΓ πρὸς τὴν ΕΔ, οὕτως ἡ ΖΗ πρὸς τὴν ΗΚ, φησίν, ὅτι· ἤχθω διὰ τοῦ Κ τῇ*

1 *ἐπεὶ*] *ἔστι*. 6 *τὴν*] *τῇ*. 7 *ἡ*] supra scr. 9 *τοῦ*] *τό*. 14 *τῷ*] *τό*. *ἡ* (alt.)] om. 16 *παραλληλόγραφον*. 18 *διὰ τό*] *δή*. 21 *ἀποδεδομένης*. *σημείου*] C^v. 25 *τοῦ*] *τό*.

ΖΗ παράλληλος ἡ ΚΘ. λέξει τις, ὡς κτλ· = p. 309, 2—310, 10 (p. 309, 3 οὔτε — (4) τμῆμα] οὐκ ἐλεύσεται ἐπὶ τὸ Θ σημεῖον, 4 ὑπερπεσεῖται] ἢ ὑπερπεσεῖται ἢ τεμεῖ τὰς ΖΘ, ΘΗ εὐθείας, 5 ἔστω] ᾧ ὡς, 6 ΓΒ, 9 ἐπεὶ — (10) ἐστιν] ἔστιν οὖν καί, 11 συνθέντα, ἐστίν om., 12 ΖΔ, 13 ὡς] ὡς μέν, ΔΕ, 16 alt. τῶν om.; 310, 3 ἴση ἐστίν om., 5 ἴση om., 6 ὑπόκειται, ἐν] ἐν τῷ, ΖΗΘ (pr.), 8 ἐστὶν om., τὸ Κ σημεῖον, 9 τῆς—περιφερείας] τοῦ Θ, 10 ὑπόκειται τὸ αὐτὸ ἄτοπον:~).

√· τὸ σχῆμα. post nr. 7 posita est figura Dat. prop. 79 (*Ε* pro *Ζ*).

7) ad p. 156, 11: ἐὰν γὰρ ἐπ' εὐθείας τῇ ΒΓ κειμένην νοήσωμεν τὴν ΔΕ καὶ ἀναγράψωμεν τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον, καὶ ὡς κοινὸν ὕψος τῶν ΒΓ, ΔΕ μίαν τῶν τοῦ τετραγώνου πλευρῶν συμπληρούντων ἡμῶν, καὶ τὸ ἕτερον παραλληλόγραμμον τὸ περιεχόμενον ὑπό τε τῆς τοῦ ☐ πλευρᾶς καὶ τῆς ΔΕ, ἤγουν τὸ ὑπὸ τῶν ΒΓ, ΔΕ, ἔσονται πρὸς ἄλληλα ὡς αἱ βάσεις. δέδοται δὲ ὁ τοῦ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΒΓ, ΔΕ λόγος· δέδοται ἄρα καὶ ὁ τῆς ΒΓ πρὸς τὴν ΔΕ λόγος.

8) ad prop. 79: παράλληλοι μὲν αἱ ΖΔ, ΚΜ διὰ τὸ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίας τὰς πρὸς τοῖς Κ, Μ δυσὶν ὀρθαῖς ἴσας εἶναι· κάθετοι γὰρ αἱ ΖΚ, ΔΜ. ἐπεὶ γοῦν παράλληλοί εἰσιν αἱ ΘΗ, ΖΔ, καὶ εἰς αὐτὰς ἐνέπεσεν εὐθεῖα ἡ ΔΘ, ἡ ὑπὸ ΖΔΘ τῇ ὑπὸ ΔΘΗ, ἡ δὲ ὑπὸ ΔΖΗ ἴση τῇ ὑπὸ ΖΗΘ. ἐὰν οὖν δείξωμεν τὴν ὑπὸ ΖΔΘ ἴσην τῇ ὑπὸ ΔΖΗ, καὶ ἡ ὑπὸ ΔΘΗ ἴση ἔσται τῇ ὑπὸ ΖΗΘ. ἐπεὶ ἡ ὑπὸ ΖΔΘ ἴση ἐστὶ τῇ ὑπὸ ΔΘΗ, καὶ αἱ περιφέρειαι αἱ ΖΘ, ΔΗ, ἐφ' ὧν βεβήκασιν, ἴσαι ἀλλήλαις ἔσονται διὰ τὸ κ̅ς̅ τοῦ γ̅ τῶν Στοιχείων· ἴση ἄρα ἡ ὑπὸ ΘΖΔ γωνία τῇ ὑπὸ ΖΔΗ· ἐπὶ ἴσων γὰρ περιφερειῶν βεβήκασι τῶν ὑπὸ τῶν ΖΘΗ, ΘΗΔ. ἐὰν οὖν ἀπὸ

---

1 λέξειεν; scr. λέξει οὖν. 2 ἐπεί. 11 τῇ] τῆς. 13 pr. τῶν] τόν. μία, μ- in ras. 16 ante ἤγουν spat. relictum. 17 ὑπό] ἀπό. 20 τοῖς] τῷ. 25 pr. ἴση] ἴσα. 29 ὑπὸ τῶν om.

τῶν ἴσων γωνιῶν τῶν ὑπὸ τῶν ΘΖΔ, ΖΔΗ ἴσαι ἀφαιρεθῶσιν αἱ ὑπὸ τῶν ΘΖΗ, ΘΔΗ· ἴσαι δὲ αὗται διὰ τὸ $\overline{\kappa\alpha}$ τοῦ γʹ τῶν Στοιχείων· ἴση ἔσται ἡ ὑπὸ ΔΖΗ τῇ ὑπὸ ΖΔΘ· ἴσαι ἄρα ἔσονται καὶ αἱ πρὸς τοῖς Θ, Η γωνίαι. ἴση ἄρα καὶ τῇ πρὸς τῷ Δ γωνίᾳ ἡ πρὸς τῷ Η. ἔστι δὲ καὶ ἡ πρὸς τῷ Ζ ἴση τῇ πρὸς τῷ Β· καὶ ἡ πρὸς τῷ Θ ἄρα ἴση τῇ πρὸς τῷ Γ. +

---

1 *ὑπὸ τῶν* om. 2 *ὑπὸ τῶν* om. spatio 4 litt. relicto.

ANTHEMIUS

ET

FRAGMENTUM BOBIENSE

Anthemii fragmentum seruauit

Cod. Uatican. Gr. 218 membr. saec. XII, f. 1—2 (paullo recentiore manu scripta), u. Hultsch, Pappi Alexandr. Coll. I p. VII. ex eo pendent ceteri omnes. contuli. post alios edidit Westermann, Paradoxographi, Brunsvigae 1839, p. 149 sqq.

Fragmentum Bobiense solus seruauit

Cod. Ambros. L 99 sup. rescriptus sub Etymologiis Isidori saec. VIII. unam paginam non rescriptam reddidit Wattenbach, Schrifttafeln VI, cetera primus edidit Belger, Hermes XVI p. 261 sqq. (specimen tantum Angelus Mai, u. Belger p. 265), cuius editionem emendauerunt M. Cantor et C. Wachsmuth (Hermes XVI p. 637 sqq.); cf. quae scripsi Zeitschr. f. Math. u. Phys., hist. Abth. XXVIII p. 121 sqq.; ib. p. 127 sq. suspicatus sum, hoc fragmentum eiusdem operis Anthemii partem esse; obloquitur T. L. Heath, Bibliotheca mathematica, 3. ser., VII p. 225 sqq. palimpsestum Ambrosianum contuli.

Ἀνθεμίου
Περὶ παραδόξων μηχανημάτων.

⟨α'. Πῶς⟩ δεῖ ἐν τῷ δοθέντι τόπῳ κατασκευάσαι ἀκτῖνα προσπίπτειν ἡλιακὴν ἀμετακίνητον ⟨ἐν⟩ πάσῃ ὥρᾳ καὶ τροπῇ.

ἔστω ὁ δοθεὶς τόπος ὁ πρὸς τῷ *A* σημείῳ, καὶ διὰ τοῦ *A* ἤχθω μεσημβρινὴ εὐθεῖα παράλληλος οὖσα τῷ ὁρίζοντι ἡ



ἀνατείνουσα ἐπὶ τὴν ὀπὴν ἢ θυρίδα, δι' ἧς δέοι τὰς ἀκτῖνας ἐπὶ τὸ *A* φέρεσθαι, ὡς ἡ *AB*, καὶ ἤχθω διὰ τοῦ *B* πρὸς

---

5 *A*] mut. in *Δ*. *A*] mut. in *Δ*. 8 *A*] *M* euan.

In figura pars dextra cum litteris *Π* et *E* recisa, reliqua satis neglegenter descripta.

ὀρθὰς τῇ ΑΒ ἡ ΒΓ, ἥτις ἔσται ἰσημερινή. ἔστω δὲ διὰ τοῦ Β σημείου καὶ ἑτέρα εὐθεῖα θερινὴ ἡ ΒΔ, χειμερινὴ δὲ ὁμοίως διὰ τοῦ Β ἡ ΒΕ, καὶ εἰλήφθω ἀπὸ συμμέτρου διαστήματος τοῦ Β, ὅσου βουλόμεθα μεγέθους καὶ τὸ ὄργανον κατασκευάζειν, ἐπὶ τῆς χειμερινῆς πρότερον εὐθείας τῆς ΒΕ σημεῖον τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΖΑ, καὶ τετμήσθω ἡ ὑπὸ ΕΖΑ γωνία δίχα τῇ ΖΗ εὐθείᾳ τοῦ Η σημείου μεταξὺ τῆς τε χειμερινῆς ἀκτῖνος καὶ τῆς ἰσημερινῆς νοουμένου ὡσανεὶ κατὰ τὴν διχοτομίαν τῆς ὑπὸ ΕΒΓ γωνίας καὶ ἐκβληθείσης τῆς ΗΖ ὡς ἐπὶ τὸ Θ σημεῖον.

ἐὰν τοίνυν κατὰ τὴν θέσιν τῆς ΗΖ εὐθείας νοήσωμεν ἐπίπεδον ἔσοπτρον, ἡ ΒΖΕ ἀκτὶς προσπίπτουσα πρὸς τὸ ΗΖΘ ἔσοπτρον λέγω ὅτι ἀνακλασθήσεται ἐπὶ τὸ Α σημεῖον.

ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ ΕΖΗ γωνία τῇ ὑπὸ ΗΖΑ γωνίᾳ, ἡ δὲ ὑπὸ ΕΖΗ γωνία ἴση ἐστὶ τῇ κατὰ κορυφὴν τῇ ὑπὸ ΘΖΒ γωνίᾳ, δῆλον, ὅτι καὶ ἡ ὑπὸ ΗΖΑ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΘΖΒ γωνίᾳ· πρὸς ἄρα ἴσας γωνίας ἡ ΒΖ ἀκτὶς ἀνακλασθήσεται ἐπὶ τὸ Α τῇ ΑΖ εὐθείᾳ.

ὁμοίως δὴ καὶ τὴν ἰσημερινὴν ἀκτῖνα παρασκευάσομεν ἀνακλασθῆναι οὕτως.

ἐπεζεύχθω γὰρ ἡ ΗΑ εὐθεῖα, καὶ τῇ ΗΑ ὡσανεὶ κέντρῳ καὶ διαστήματι γραφομένου κύκλου κείσθω ἐπὶ τῆς ΒΓ εὐθείας ἴση ἡ ΗΚ, καὶ τετμήσθω ὁμοίως ἡ ὑπὸ ΚΗΑ γωνία τῇ ΗΛΜ εὐθείᾳ δίχα τεμνούσῃ μὲν τὴν ΒΚΓ εὐθεῖαν κατὰ τὸ Λ, περατουμένῃ δὲ ἄχρι τῆς διχοτομούσης εὐθείας τὴν ὑπὸ ΓΒΔ γωνίαν κατὰ τὸ Μ σημεῖον, καὶ ἐπεζεύχθω ἡ ΛΑ.

ἐπεὶ οὖν ἡ ΗΚ ἴση ἐστὶ τῇ ΗΑ, καὶ τέτμηται δίχα ἡ γωνία ἡ ὑπὸ ΚΗΑ τῇ ΗΛΜ εὐθείᾳ, βάσις ἄρα ἡ ΚΛ τῇ

---

8 *ΕΒΓ*] mut. in *ΑΒΓ*. *Θ*] mut. in *Ε*. 10 *ΗΖΘ*] *ΖΗΘ*. 12 *ΗΖΑ*] *Ζ̈ΉΑ*. 13 *ΘΖΒ*] *ΘΒΖ*. 17 *παρασκευάσωμεν*. 19 *ΗΑ* (alt.)] mut. in *ΠΑ*. 19—20 cf. Euclidis Elem. I p. 280, 1—2. 21 *ΗΚ*] mut. in *ΠΚ*. *ΚΗΑ*] mut. in *ΚΠΑ*. *ΗΛΜ*] mut. in *ΠΛΜ* 22 *τέμνουσι*. *Λ*] *ΚΛ*. 26 *ΗΛΜ*] *ΔΜ*. *ΚΛ*] *ΚΑ*.

ΛΑ ἴση ἐστίν· ὥστε καὶ γωνία ἡ ὑπὸ ΚΛΜ ἴση ἐστὶ τῇ ὑπὸ ΜΛΑ. ἀλλ' ἡ ὑπὸ ΚΛΜ ἴση ἐστὶ τῇ ὑπὸ ΗΛΒ· κατὰ κορυφὴν γάρ· καὶ ἡ ὑπὸ ΜΛΑ ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΗΛΒ γωνίᾳ. διὰ ταῦτα δὴ ἐπιπέδου ὁμοίως ἐσόπτρου νοουμένου τοῦ ΗΛΜ συνεχοῦς ὄντος καὶ συνημμένου τῷ ΗΖΘ προλεχθέντι ἐσόπτρῳ, ἡ ΛΒ ἰσημερινὴ ἀκτὶς ἀνακλασθήσεται ἐπὶ τὸ Α διὰ τῆς ΛΑ εὐθείας.

ὁμοίως δὲ τὰ αὐτὰ ποιοῦντες καὶ ἐπὶ τῆς ΛΒ εὐθείας δείξομεν τὴν ΒΞ θερινὴν ἀκτῖνα προσπίπτουσαν ἐπὶ τὸ διὰ τῆς ΜΞΟ ἐπίπεδον ἔσοπτρον καὶ ἀνακλωμένην ἐπὶ τὸ Α διὰ τῆς ΞΑ εὐθείας.

εἰ τοίνυν νοήσομεν πρὸς τῷ Β σημείῳ ὀπήν τινα περὶ τὸ αὐτὸ κέντρον σύμμετρον, πᾶσαι αἱ προσπίπτουσαι ἀκτῖνες διὰ τῆς ὀπῆς, τουτέστι διὰ τοῦ Β σημείου, ἐπὶ τὰ εἰρημένα καὶ συνεχῆ ἀλλήλοις ἔσοπτρα ἀνακλασθήσονται ἐπὶ τὸ Α σημεῖον. δυνατὸν δὲ καὶ συνεχῶς διχοτομοῦντας τὰς εἰρημένας γωνίας καὶ τὰ αὐτὰ πράττοντας διὰ πλειόνων καὶ μικροτέρων ἐσόπτρων τὴν ΘΖΗΛΜΞΟ γραμμὴν καταγράψαι, ἥτις, εἰ νοηθείη περὶ ἄξονα τὸν ΒΑ περιφερομένη, ἀποτυπώσει τὸ λεγόμενον κλιβανοειδὲς ἔσοπτρον, ὅπερ δίχα διαιρούμενον καὶ ἐπιπωμαζόμενον λεπίδι τινὶ παραλλήλῳ τῷ ὁρίζοντι καὶ διὰ μόνου τοῦ Β τοῦ πρὸς τῇ ὀπῇ δεχόμενον τὰς ἀκτῖνας κατὰ πᾶσαν θέσιν πέμπει ἐπὶ τὸ Α σημεῖον.

ἵνα δὲ μὴ ⟨πονῶμεν⟩ συνεχεῖς οὕτω διαιρέσεις καὶ ἐπίπεδα ἔσοπτρα κατασκευάζοντες καὶ συντιθέντες, ⟨ἐκθησό⟩μεθα καὶ αὐτῆς τῆς γραμμῆς τὴν καταγραφήν, ὅπως γινομένου πρὸς αὐτὴν ἐμβολέως ἡ χ⟨ωνεία⟩ τοῦ τοιούτου ἐσόπτρου γίνοιτο.

ἐὰν γὰρ νοήσωμεν τῇ ΖΑ εὐθείᾳ ἴσην τιθεμένην ⟨τὴν ΠΖ εὐθεῖαν, ἔσται⟩ ἡ ΠΗ εὐθεῖα ἴση τῇ ΗΑ. ἐπεὶ οὖν ἡ ΠΖ

---

5 *ΗΛΜ*] *ΗΑΜ*. 6 *ΛΒ*] *ΑΒ*. 22 *ὀπῇ*] des. fol. 1r. 23 *πέμπειν*. 29 *ΠΗ*] *ΠΖ* corr. ex *ΠΕ̣Ζ*.

εὐθεῖα ἴση ἐτέθη τῇ ΖΑ, κοινὴ ⟨προσκείσθω ἡ ΖΒ·⟩ ὅλη ἄρα ἡ ΠΒ ἴση ἐστὶ ταῖς ΒΖ, ΖΑ. ἀλλ' ἡ ΠΒ ἴση ἐστὶ τῇ ΚΒ διὰ τὸ ἴσην εἶναι τὴν ΠΗ τῇ ΗΚ, καὶ κατὰ τῆς διχοτομίας εἶναι τῆς γωνίας ⟨τὸ Η τῆς ὑπὸ⟩ ΠΒΚ· καὶ ἡ ΒΚ ἄρα ἴση ἐστὶ ταῖς ΒΖ, ΖΑ. ἀλλὰ ἡ ΚΒ ἴση ἐστὶ ταῖς ΒΛ, ΛΑ διὰ τὸ ἴσην εἶναι τὴν ⟨ΚΛ⟩ τῇ ΛΑ καὶ κοινὴν τὴν ΛΒ· καὶ αἱ δύο ἄρα αἱ ΒΛ, ΛΑ ἴσαι εἰσὶ δυσὶν ταῖς ΒΖ, ΖΑ.

⟨κατὰ⟩ τ⟨ὰ⟩ αὐτὰ δὴ δειχθήσεται καὶ ἡ ΒΝ ἴση τῇ ΒΚ καὶ τῇ ΠΒ καὶ αἱ ΒΞ, ΞΑ ἴσαι ταῖς ⟨ΒΛ⟩, ΛΑ καὶ ταῖς ΒΖ, ΖΑ συναμφότεραι συναμφοτέραις, ὡς ἐκ τούτου δείκνυσθαι ⟨ἡμῖν⟩ τὰς διὰ τοῦ Β σημείου πεμπομένας ἀκτῖνας καὶ ἀνακλωμένας ἐπὶ τὸ Α ἴσας εἶναι ταῖς λοιπαῖς πάσας [τὰς] τὸ αὐτὸ ποιούσας.

εἰ τοίνυν διατείνομεν σπάρτον περιαγομένην περὶ τὰ Α, ⟨Β⟩ σημεία καὶ διὰ τῆς ἀρχῆς τῶν μελλουσῶν ἀνακλᾶσθαι ἀκτίνων, γραφήσεται ἡ εἰρημένη γραμμή, ἥτις μέρος ἔσται τῆς λεγομένης ἐλλείψεως, πρὸς ἣν ὁ ἐμβολεὺς τοῦ εἰρημένου ἐσόπτρου ⟨γίν⟩εται.

β'. Πῶς ἂν εἰς τὸν δοθέντα τόπον ἀφεστῶτα οὐκ ἔλαττον ἢ τόξου βολὴν κατασκευάσομεν ἔξαψιν γίνεσθαι διὰ τῶν ἡλιακῶν ἀκτίνων.

κατὰ μὲν τοὺς ἐκθεμένους τὰς τῶν λεγομένων πυρίων κατασκευὰς δοκεῖ πως ἀδύνατον εἶναι τὸ προτεθέν· αἰεὶ γὰρ ὁρῶμεν τὰ πυρία ἐπὶ τὸν ἥλιον ὁρῶντα, ὅταν τὴν ἔξαψιν

---

18 mg. (scholium ad lin. 8 pertinens): ἐπεὶ ἴση ἐστὶν ἡ ΑΗ τῇ ΚΗ, καὶ δίχα τέτμηται ἡ ὑπὸ ΑΗΚ γωνία τῇ ΗΜ, ἴση ἄρα καὶ ἡ ΑΜ τῇ ΜΚ. ἀλλὰ ἡ ΑΜ τῇ ΜΝ ἴση ἐστί· καὶ ἡ ΜΝ ἄρα (om.) τῇ ΜΚ ἴση ἐστί. καὶ δίχα τέτμηται ἡ ὑπὸ ΚΒΝ (κβμ cod.) γωνία τῇ ΒΜ· ἴση ἄρα καὶ ἡ ΚΒ τῇ ΒΝ.

---

2 ταῖς — ἐστὶ] om. 5 ΚΒ] -Β e corr. m. 2. 7 ΒΛ] corr. ex ΗΑ m. 2. 9 τῇ ΠΒ] ἡ ΠΒ. αἱ] ἡ. καὶ ταῖς] καὶ αἱ. 10 ΒΖ] corr. ex ΒΞ. 11 ἡμῖν] uestigia incerta. 12 τὰς] deleo. 18 seq. fig.

ποιῆται, ὡς, εἴπερ ὁ δοθεὶς τόπος μὴ ἐπ᾽ εὐθείας ἐστὶ ταῖς ἡλιακαῖς ἀκτῖσιν, ἀλλ᾽ ἐφ᾽ ἕτερόν τι νεύων μέρος ἢ ἐπὶ τὸ ἐναντίον, οὐχ οἷόν τέ ἐστι διὰ τῶν εἰρημένων πυρίων γενέσθαι τὸ προταθέν· ἔπειτα καὶ κατὰ διάστημα ἱκανὸν τὸ μέχρι τῆς ἐξάψεως ἀναγκάζει καὶ τὸ μέγεθος τοῦ πυρίου κατὰ τὰς ἐκθέσεις τῶν παλαι⟨ῶν⟩ σχεδὸν ἀδύνατον εἶναι γενέσθαι· ὥστε κατὰ τὰς εἰρημένας ἐκθέσεις ἀδύνατον εὐλόγως νομίζεσθαι καὶ τὸ προταθέν.

ἐπειδὴ δὲ τὴν Ἀρχιμήδους δόξαν οὐχ οἷόν τέ ἐστι καθελεῖν, ἅπασιν ὁμολόγως ἱστορηθέντος, ὡς τὰς ναῦς τῶν πολεμίων διὰ τῶν ἡλιακῶν ἔκαυσεν ἀκτίνων, ἀναγκαῖον εὐλό⟨γως⟩ καὶ κατὰ τοῦτο δυνατὸν εἶναι τὸ πρόβλημα, καὶ ἡμεῖς θεωρήσαντες, καθ᾽ ὅσον οἷόν τε ἦν ἐπισκήψαντες, τὴν τοιαύτην ἐκθησόμεθα κατασκευὴν βραχέα τινὰ προδιαλαβόντες ἀναγκαῖα ⟨εἰς τὸ⟩ προκείμενον.

πρὸς τῷ δοθέντι σημείῳ ἐπιπέδου ἐσόπτρου θέσιν εὑρεῖν, ὥστε τὴν κατὰ πᾶσαν θέσιν ἐρχομένην ἐπὶ τὸ εἰρημένον σημεῖον ἡλιακὴν ἀκτῖνα ἐπὶ ἕτερον ἀνακλᾶσθαι σημεῖον.

ἔστω τὸ A δοθέν, ἡ δοθεῖσα κατά τινα θέσιν ἀκτὶς ἡ BA, καὶ δέον ἔστω τὴν BA ἐπί τι ἔσοπτρον προσπίπτουσαν ἐπίπεδον καὶ συνημμένον τῷ A σημείῳ ἀνακλᾶσθαι ἐπὶ τὸ δοθὲν Γ σημεῖον.



ἐπεζεύχθω γὰρ ἀπὸ τοῦ A ἐπὶ τὸ Γ εὐθεῖα, τετμήσθ⟨ω⟩ ἡ ὑπὸ ⟨BA⟩Γ γωνία δίχα τῇ $A\Delta$ εὐθείᾳ, καὶ διὰ τοῦ A νοείσθω ἐπίπεδον ἔσοπτρον τὸ EAZ πρὸς ὀρθὰς τῇ ⟨$A\Delta$⟩ εὐθείᾳ· δῆλον ἔσται αὐτόθεν ἐκ τῶν προδεδειγμένων, ὡς ἡ BA ἀκτὶς προσπίπ-

---

1—2 ·/· ταῖς ἡλιακαῖς ἀκτῖσιν. 11 ο⁊κῶν. ἀναγκαῖον] ἀνανκαίως καὶ compp. 19 A] corr. ex Γ m. 2. 22 Γ] mut. in A m. 2. 24 ὑπὸ] des. fol. 1v. 26 EAZ] m. 1, EBZ m. 2. 27 ἔσται] εἰ.

τουσα ἐπὶ τὸ ⟨ΕΔΖ ἔ⟩σοπτρον ἀνακλασθήσεται ἐπὶ τὸ Γ· ὅπερ ἔδει ποιῆσαι.

καὶ πᾶσαι ἄρα αἱ κατὰ τὴν αὐτὴν θέσιν προσπίπτουσαι ἀκτῖνες ἀπὸ τοῦ ἡλίου ἐπὶ τὸ ἔσοπτρον παράλληλοι οὖσαι τῇ ΑΒ ἀνακλασθήσονται κατὰ παραλλήλους ἀκτῖνας τῇ ΓΔ, ὡς δείκνυσθαι, ὅτι, καθ' οἷόν ποτε μέρος ᾖ θέσιν στῇ τὸ Γ σημεῖον τῇ ἡλιακῇ ἀκτῖνι, διὰ τοῦ ἐπιπέδου ἐσόπτρου ἡ ἀνάκλασις ἐπ' αὐτὸ γενήσεται. καὶ ἐπειδὴ ἡ τῶν πυρίων ἔξαψις καθ' ἕτερον οὐ γίνεται τρόπον ἢ τῷ πλείονας ἀκτῖνας εἰς τὸν ἕνα καὶ τὸν αὐτὸν τόπον συνάγεσθαι καὶ τῆς κατὰ κορυφὴν θέρμης ἀθροιζομένης εἰκότως καὶ ἔκκαυσιν γίνεσθαι, καθ' ὃν τρόπον καὶ πυρὸς ἔν τινι τόπῳ ὑπάρχοντος τὰ πέριξ μέρη καὶ παρακείμενα τοῦ ἀέρος συμμέτρου τινὸς ἀπολαύει θερμότητος, οὕτως, εἰ νοήσομεν καὶ τοὐναντίον πάσας ἐκείνας τὰς θερμότητας ἐπὶ τὸν μέσον συνάγεσθαι τόπον, τὴν τοῦ εἰρημένου πυρὸς ἀποτελέσουσι δύναμιν. δέον οὖν ἔστω καὶ πρὸς τῷ Γ σημείῳ ἀφεστῶτι τοῦ Δ οὐκ ἔλαττον ἢ τὸ εἰρημένον διάστημα προσαγαγεῖν καὶ ἑτέρας διαφόρους ἀκτῖνας ἀπὸ ἐπιπέδων ὁμοίων καὶ ἴσων ἐσόπτρων, ὥστε τὰς ἀνακλάσεις ὑφ' ἓν ἐκείνων ἁπάσας συναγομένας ποιῆσαι τὴν ἔξαψιν· ὥστε ἔσται διὰ πλειόνων ἀνδρῶν κατὰ τὴν εἰρημένην θέσιν ἔσοπτρα κατεχόντων καὶ ἐπὶ τὸ Γ πεμπόντων σημεῖον ποιῆσαι τὸ προκείμενον.

γʹ. ἵνα δὲ μὴ δυσχεραίνωμεν πλείοσιν τοῦτο ἐπιτάττοντες· εὑρίσκομεν γάρ, ὡς οὐκ ἔλαττον κ̅δ̅ ἀνακλάσεων χρῄζει τὸ ὀφεῖλον ἐξαφθῆναι· κατασκευάσωμεν οὕτως·

ἔστω ἐπίπεδον ἑξαγωνικὸν ἔσοπτρον τὸ ΑΒΓΔΕΖ καὶ τούτῳ παρακείμενα ἕτερα ὅμοια ἔσοπτρα ἑξαγωνικὰ καὶ συνημμένα τῷ προτέρῳ κατὰ τὰς εἰρημένας ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΖ, ΖΑ

1 Γ] incertum et correctum. 4 ἔσοπτρον] ras. 9 litt. 8 αὐτὸ] αὐτ̀. 12 πυρὰς. 16 ἀποτελέσωσι. 20 ὥστε ἔσται] ὅπερ καί. 23 seq. fig. 28 ἑξαγωνικὰ] m. 1, τετραγωνικὰ m. 2. 29 ΖΑ] om.

εὐθείας ἀπὸ ἥττονος ὀλίγῳ διαμέτρου, δυνάμενα δὲ κινεῖσθαι περὶ τὰς εἰρημένας εὐθείας ἢ λεπίδων συναπτῶν προσκολλιζομένων αὐτοῖς ἢ τῶν λεγομένων γιγλυμίων. εἰ τοίνυν ἐν τῷ αὐτῷ ἐπιπέδῳ τοῦ μέσου κατόπτρου ποιήσομεν εἶναι καὶ τὰ πέριξ ἔσοπτρα, ἡ ἀνάκλασις δηλονότι ὁμοίως τῇ πάσῃ συνθέσει γενήσεται. εἰ δὲ μένοντος τοῦ μέσου ὡσανεὶ ἀκινήτου διά τινος ἐπινοίας εὐχερῶς προστιθεμένης ἅπαντα τὰ πέριξ ἐπὶ τὸ μέσον ἐπινεύσομεν, δῆλον, ὡς καὶ αἱ ἀπ᾽ αὐτῶν ἀνακλώμεναι ἀκτῖνες ἐπὶ τὸν μέσον τόπον τοῦ ἐξ ἀρχῆς ἐσόπτρου παραγίνονται. τὸ αὐτὸ δὴ ποιοῦντες καὶ ἕτερα πέριξ περιτιθέντες τῶν εἰρημένων ἔσοπτρα καὶ δυνάμενα νεύειν ἐπὶ τὸ μέσον καὶ τὰς ἀπ᾽ αὐτῶν ἀκτῖνας εἰς τὸ αὐτὸ συναγάγωμεν, ὥστε συναγομένας ἁπάσας κατὰ τὸν εἰρημένον τρόπον τὴν ἔξαψιν ἐν τῷ δοθέντι τόπῳ ποιῆσαι.



δʹ. κάλλιον δὲ ἡ αὐτὴ ἔξαψις γενήσεται, εἰ τέτρασιν ἢ καὶ πέντε ἐσόπτροις δοθείη τὰ τοιαῦτα πυρία ἀνὰ ἑπτὰ ὄντα τὸν ἀριθμὸν καὶ ἀφεστῶσι σύμμετρον ἀλλήλων διάστημα κατ᾽ ἀναλογίαν τοῦ τῆς ἐξάψεως διαστήματος, ὥστε τὰς ἀκτῖνας τὰς ἀπ᾽ αὐτῶν τεμνούσας ἀλλήλας πλέον δύνασθαι ποιεῖν τὴν εἰρημένην ἐκπύρωσιν· ἐν ἑνὶ γὰρ τόπῳ τῶν ἐσόπτρων ὄντων κατ᾽ ὀξυτάτας γωνίας αἱ ἀνακλάσεις ἀλλήλας τέμνουσιν, ὥστε σχεδὸν πάντα τὸν περὶ τὸν ἄξονα τόπον θερμαινόμενον δια⟨πυροῦσθαι⟩ καὶ μὴ πρὸς τὸ δοθὲν καὶ μόνον σημεῖον γίνεσθαι τὴν ἐκπύρωσιν. δύναται δὲ διὰ τῆς τῶν α⟨ὐτῶν ἐπι⟩πέδων ἐσόπτρων κατασκευῆς καὶ τὴν τῶν πολεμίων ἀμαυροῦσθαι ὄψιν, ὡς μὴ καθο⟨ρᾶν, ὅπου⟩ βαδίζουσιν, εἰ ἐπέρχονται τῶν τοιούτων κατόπτρων ἐπιπέδων ἐχον⟨τ⟩ες ⟨τὰς κατα-

1 ὀλίγῳ] ὀλίγης. 6 ἕως ἂν εἰ. 7 προστιθεμένη. 11 παραγένωνται. 17 seq. fig. 19 ἐσόπτροις] incertum. 29 εἰ] ἢ. 30 ἐχόν⟨τ⟩ων.

σκευὰς⟩ πηγνυμένων τε ἐν τοῖς ὑπεράνω μέρεσιν τῶν ἀσπίδων καὶ ἔσωθέν π⟨ως περιαγομένων⟩, ὥστε πρὸς τοὺς πολεμίους, καθὰ εἴρηται, τὰς ἡλιακὰς ἀνακλάσεις τ⟨ρέπ⟩εσθαι καὶ ⟨διὰ τοῦτο⟩ ε⟨ὐ⟩χερῶς δύνασθαι, ὡς εἴρηται, αὐτῶν καταγωνίζεσθαι.

ε'. διὰ μὲν οὖν τῆς τῶν εἰρημένων ἐσόπτρων ἤτοι πυρίων κατασκευῆς ἥ τε ἔξαψις πρὸς τὸ δοθὲν διάστημα δύναιτο γίνεσθαι καὶ τὰ ἄ⟨λλα τὰ ῥηθέντα⟩· καὶ γὰρ οἱ μεμνημένοι περὶ τῶν ὑπὸ Ἀρχιμήδους τοῦ θειοτάτου κατασκευασθέντων ⟨ἐκκαῦσαι⟩ οὐ δι' ἑνὸς ἐμνημόνευσαν πυρίου ἀλλὰ διὰ πλειόνων, καὶ οἶμαι μὴ εἶναι τρόπον ⟨ἕτε⟩ρον τῆς ἀπὸ τούτου τοῦ διαστήματος ἐκκαύσεως· ἐπειδὴ δὲ καὶ τῶν συνήθων πυρίων ἐμνημόνευσαν οἱ παλαιοί, πῶς δεῖ τὰς τῶν ἐμβολέων ποιεῖσθαι καταγραφάς, ὀργανικώτερον μόνον οὐδεμίαν ἀπόδειξιν γεωμετρικὴν εἰς τοῦτο ἐκθέμενοι, ⟨ἀλλὰ⟩ φήσαντες εἶναι τὰς τοιαύτας κωνικὰς τομάς, οὐ μέντοι γε ποίας καὶ πῶς γινομένας, διὸ πειρασόμεθα ἡμεῖς καί τινας ἐκθέσθαι τῶν τοιούτων ἐμβολέων καταγραφὰς καὶ ταύτας οὐκ ἀναποδείκτους ἀλλὰ διὰ τῶν γεωμετρικῶν ἐφόδων πιστουμένας.

